§. υξβ΄. Ἀντιφατικῶς δὲ κατὰ τὸ ὁμοιότροπον ὡς εἴρηται (§. υνγ΄.) μαχομένων, πρὸ τῶν τρόπων καὶ ἡ ἄρνησις δεόντως (§. υνς΄.) εἰς ἰσοδυναμίαν ταχθήσεται, εἴτε ἐπιῤῥηματικῶς, εἴτε καὶ κατηγορικῶς ἐκφερομένων. Καὶ γάρ τοι καὶ τὸ οὐχὶ οὐκ ἀναγκαῖον, ἀναγκαῖον ἐστί. Καὶ τὸ οὐχὶ οὐκ ἀδύνατον, ἀδύνατον. Καὶ τὸ οὐχὶ οὐκ ἐνδεχόμενον, ἐνδεχόμενον. Καὶ τὸ οὐχὶ οὐ δυνατὸν, δυνατόν.

§. υξγ΄. Οὕτως οὖν αἱ, δι᾽ ἣν ἔχουσιν ἀντίθεσιν, τὰ μαχόμενα ἀποφαινόμεναι προτάσεις, δυνάμει τοῦ ἀρνητικοῦ μορίου καταλλήλως τασσομένου (§. υνς΄.), εἰς τὸν αὐτὸν νοῦν ἐπανάγονται, καὶ φίλαι, ὡς ἄντις εἴποι, ἐκ πολεμίων καθίστανται· τὴν γε μὴν ἀκριβέστερον διασκοποῦντι, οὐ μόνον ἐπὶ τῶν ἀντικειμένων ἀποφάνσεων φιλοτεχνεῖν ἐστὶ τὸ σύνδρομόν τε καὶ σύμφωνον, ἀλλὰ καὶ ἐπὶ τῶν μὴ μαχομένων μὲν, ἄλλως δέ πως, καὶ οὐκ ἐκ μάχης προηγουμένης, εἰς ταὐτὸ συνιουσῶν, αὐτὸ θηρᾶσθαι. Ἡ γὰρ ὁρισμὸν φέρ᾽ εἰπεῖν τοῦ ὁριστοῦ κατηγοροῦσα, ἰσοδύναμος ἐστὶ δήπως τῇ τὸ αὐτὸ ὁριστὸν, κατὰ τοῦ αὐτοῦ ὁρισμοῦ ἀγορευούσῃ. Οἷον ἡ φάσκουσα ὅτι πᾶν τρίγωνον ἐστὶ σχῆμα ὑπὸ τριῶν γραμμῶν περατούμενον· Καὶ ἡ, ἅπαν τὸ ὑπὸ τριῶν γραμμῶν περατούμενον σχῆμα, ὅτι ἐστὶ τρίγωνον, εἰ καὶ καταφατικῶς ἄμφω, καὶ καθόλου προσδιοριζόμεναι, εἰσὶν ἀλλ᾽ οὖν ἰσοδύναμοι.

§. υξδ΄. Παραπλησίως δὲ ἐὰν τοῦ αὐτοῦ ὑποκειμένου, ὑπὸ διορισμοῖς τὰ ἴσα μὲν δυναμένοις, ἄλλως δέ πως ἐκφερομένοις τὸ αὐτὸ κατηγορῆται, αἱ προτάσεις ἀλλήλαις ὁμολογήσουσιν. Οἷον ἡ ἀπόφανσις, ὅτι τὰ παραλληλόγραμμα, τὰ ἐπὶ τῆς αὐτῆς βάσεως, καὶ ἐν ταῖς αὐταῖς παραλλήλοις, συνεξισοῦται, τῇ ἀποφάνσει, ὅτι τὰ παραλληλόγραμμα, ὧν ἴσαι αἵτε βάσεις, καὶ τὰ ὕψη, ἴσα ἀλλήλοις εἰσὶν, ὁμόλογος ἐστί· τὸ γὰρ ἐπὶ ἴσων εἶναι λέγειν βάσεων, ἢ ἐπὶ τῆς αὐτῆς· καὶ τὸ ἰσοϋψῆ εἶναι, ἢ ἐν ταῖς αὐταῖς παραλλήλοις τὰ παραλληλόγραμμα, οὐδὲν ὅλως διοίσει, ἀλλ᾽ ἐπίσης ἑκατέρωθεν τὰ εἴδη διορισθήσεται.

§. υξε΄. Ὡς οὖν καθόλου εἰπεῖν, ἰσοδυναμοῦσαι προτάσεις εἰσὶν, αἷς ἐν συνθέσει, ἢ διαιρέσει, ὁ αὐτὸς ὑποσημαίνεται νοῦς, κἂν διαφόρως ἐκφράζοιτο τὸ νοούμενον. Ἥλιος φυτὰ θάλπει· Καὶ τὰ φυτὰ θάλπεται ὑφ᾽ ἡλίου· Καὶ τὸ ἀφ᾽ ἡλίου φῶς ζωπυρεῖ πως τὰ πεφυκότα· Καὶ τῷ φωστῆρι ταῦτα ζωογονεῖται θαλπωρῆς ἀπολαύοντα ἡλιακῆς· Καὶ τὰ παραπλήσια, προτάσεις ἰσοδύναμοι ἅπασαι εἰσίν.

§. υξς΄.



§. υξς΄. Ἐν οἷς οὐδ᾽ ἐκεῖνο παραλειπτέον, μὴ τοσαύτης εἶναι ἐν ταῖς διαλέξεσι χρείας τὴν ἰσοδυναμίαν τῶν ἀποφάνσεων. Ὁ γὰρ τὴν ἐνεχθεῖσαν ἀποφήσας, καὶ τὴν ἰσοδυναμοῦσαν ἐκείνῃ συναποφῆναι ἥκιστα ἐρυθριάσει. Ἴσῳ γὰρ τῷ λόγῳ, τὴν πᾶς ἄνθρωπος ἐστὶ ψεύστης ἀπαρνησάμενος, καὶ τὴν οὐχὶ οὐ πᾶς ἐστὶν, ἢ ἑτέραν τινὰ ταύταις ὁμόλογον, οἷός ἐστιν ἀπαρνήσασθαι. Εἰ μὴ καὶ μείζονι, καὶ δικαιοτέρῳ, ἅτε δὴ ψυχρῶς πως καὶ φορτικῶς τὸ ἀποπεμφθὲν ἀναπεμπάζουσαν, καὶ τὸ ἀποπτυσθὲν, ὡς φάναι, ἐπαναλείχουσαν.

# ΚΕΦ. ΕΒΔΟΜΟΝ.

## Περὶ Ἀντιστροφῆς τῶν Προτάσεων.

### §. υξζ΄.

Ἀντίστροφοι προτάσεις εἰσὶν, αἱ ἐν ὅροις τοῖς αὐτοῖς μὲν, κατὰ δὲ τὸ ὑποκεῖσθαι καὶ κατηγορεῖσθαι ἀντικαθισταμένοις ἀλλήλων, συναληθεύουσαι, ἢ συμψευδόμεναι. (1).

§. υξη΄. Εἴδη δὲ Ἀντιστροφῶν, Α΄. τὸ τῆς ἁπλῶς ἁπλῆς εἰρημένης, καθ᾽ ἣν ἡ πρότασις εἰς ἑαυτὴν λέγεται ἀντιστρέφειν, τοῦ μὲν ποσοῦ, καὶ τοῦ ποιοῦ σωζομένων, μεθισταμένων δὲ τῶν ὅρων ἀνάπαλιν. Ἀντιστρέφουσι δὲ πρὸς ἑαυτὰς οὕτως, ἥτε Ε, καὶ ἡ Ι. (§. υβ΄.)· οἷον ἡ μὲν οὐδεὶς ἄνθρωπος λίθος, εἰς τὴν οὐδεὶς λίθος ἄνθρωπος· ἡ δὲ τὶς ἄνθρωπος ἐστὶ φιλόσοφος, εἰς τὴν τὶς φιλόσοφος ἐστὶν ἄνθρωπος.

§. υξθ΄. Ἐπεὶ δὲ καὶ ὅτι πᾶς φιλόσοφος ἐστὶν ἄνθρωπος, ἀληθὲς οὐδὲν ἧττον, διὰ τὸ συνυπακούεσθαι ἐξ ἀνάγκης τῷ φιλοσόφῳ τὸν ἄνθρωπον, εἰρήσθω δὴ, ἐφ᾽ ὧν ἐνδέχεται τοῦτο ποιεῖν, Ἀναδρομὴ ὅρου ἡ τοιαύτη, καὶ ἄνοδος. Ἔστι δὲ ταύτην ἐπὶ



(1) „Ἡ γὰρ Ἀντιστροφὴ ἰσοστροφή τις ἐστί. Φιλόπον. εἰς τὸ Α΄. τῶν „Προτ. Ἀναλ. Ὥρισται δὲ καὶ κοινωνία δύο προτάσεων κατὰ τοὺς ὅρους ἀνάπαλιν τιθεμένους, μετὰ τοῦ συναληθεύειν. Ἀλεξ. Ἀφροδι. Παρὰ Κορυδ. Περὶ Ἀντιστρ. ὅς ὁρισμὸς τῇ ἁπλῇ ἀντιστροφῇ μάλιστα προσήκει, ὡς ὁ Φιλόπονος σεσημείωκεν. Ἔνθα ἄνωτ.